# 05 FEBRUARIE
# HARALAMBOS BOUSIA

# SLUJBA
# SF.MUCENIC
# ANTONIE
# DE LA
# CONSTANTINOPOL

# MINEIUL-GR


ὁ ἅγιος
Ἀντώνιος
ὁ Νεομάρτυς
ὁ Ἀθηναῖος
χείρ
Κων. Δημητρέλου
2011

# Ἀκολουθία Νεομάρτυρος ΑΝΤΩΝΙΟΥ τοῦ Ἀθηναίου

Δρ. Χαρ. Μπούσια

Ψαλλομένη τῇ 5η Φεβρουαρίου

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τὸν ἀριστέα σταδίου, στεῤῥὸν Ἀντώνιον, ἐν Κωνσταντι-νουπόλει,τροπωσάμενον σθένει, ἁγίῳ τὴν μανίαν Ἄγαρ υἱῶν, καὶ πιστῶν κατευφράναντα, χορείας πάσας τιμήσωμεν εὐλαβῶς, ὡς φωστῆρα νέον πίστεως.

Τὸν δι' ἀγάπην Κυρίου, ἀκμὴν νεότητος, καὶ τοῦ προσώπου κάλλος,παριδόντα ἐκθύμως, οἱ δῆμοι Ἀθηναίων, δεῦτε, λαμπρὸν, ἀθλοφόρον Ἀντώνιον, ἐγκωμιάσωμεν ᾄσμασι μελιχροῖς, Νεομάρτυρα Ἀντώνιον.

Τοῦ μαρτυρίου βαδίσαι, σοφῶς ἐπόθησας, τὴν ἀτραπὸν ἐν χρόνοις,δυσχειμέροις δουλείας, καὶ φέρειν τῶν βασάνων, ὡς τιμαλφὲς, νίκης τρόπαιον στίγματα, ἐν τῇ σαρκί σου, Ἀντώνιε, ἀθλητὰ, νέε πίστεως, περίδοξε.

Τὴν σὴν ἀκήρατον μνήμην, τελοῦντες σήμερον, Θεὸν δοξολογοῦμεν,σὲ τὸν πλήσαντα

θάῤῥους, ἀνόμων καὶ ἀπίστων Ἄγαρ υἱῶν, ἐδαφίσαι τὴν ἔπαρσιν, Νεομαρτύρων ἀκρώρεια εὐσταλῶν, Ἀθηνῶν βλαστέ, Ἀντώνιε.

Δόξα. Ἦχος β΄.

Ἀθλητικῶς τὸν ἀγῶνα τελέσας, μαρτυρικῆς εὐκλείας ἠξίωσαι, Νεομάρτυς Ἀντώνιε· καλῶς γὰρ τὸν Χριστὸν ὁμολογήσας, νεοπαγὴς θεμέλιος ὤφθης τῆς Ἐκκλησίας τοῦ Κτί-σαντος· πρέσβευε οὖν τῷ ἀγωνοθέτῃ Κυρίῳ,τῷ ἐνδυναμώσαντί σε ἀθλητικῶς περατῶσαι τὸν βίον, σωθῆναι τὰς ψυχὰς τῶν τιμώντων, τὴν πάμφωτον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι...

Εἰς τόν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Εὔκλειαν ἀθλητῶν, τῆς πίστεως ζηλώσας, ἀσόφων φληναφίας,ἀπέῤῥιψας ἐν Πόλει, τῶν Πόλεων, Ἀντώνιε.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Σθένει νεανικῷ, τῷ σῷ καὶ ἀπτοήτῳ, φρονήματι καθεῖλες, τὸν ἄνομον δυνάστην, Ἀντώνιε πανένδοξε.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Ἄλκιμε ἀθλητά, Νεομαρτύρων εὖχος, καὶ Ἀθηναίων κλέος, γηθόμενοι τιμῶμεν, τὴν μνήμην σου, Ἀντώνιε.

Δόξα. Τριαδικόν.

Λάμψον ἡμῖν τὸ φῶς, τῆς Σῆς ἀφθίτου δόξης, Τριὰς Ὑπεραγία, ὡς ἄν τὴν σκοτομήνην, παθῶν ἡμῶν διώξωμεν.

Καὶ νῦν. Θεοτοκίον.

Ὄμβρισον ὑετὸν, ἡμῖν χαρᾶς, Παρθένε, τῆς Σῆς ἀστασιάστου, λιταῖς τοῦ Ἀντωνίου, εὐψύχου Νεομάρτυρος.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ὡς νεόφυτον ἔρνος Χριστοῦ τῆς πίστεως, τὸ ἐξανθήσαν ἐν χρόνοις δουλείας γένους ἡμῶν, ἀνυμνοῦμέν σε, πανένδοξε Ἀντώνιε, γόνε σεπτὲ τῶν Ἀθηνῶν, ὁ ἀκμῇ τὴν κεφαλὴν, μαχαίρας ἀνόμων κλίνας, καὶ σοῦ δεόμεθα· ἴσθι, θερμὸς ἡμῶν ἐν βίῳ πρόμαχος.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακὸς καί τὸ Μακάριος ἀνήρ· εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἀθηνῶν ἐγκαλλώπισμα, Βυζαντίου ἡγίασας, χθόνα τῶν αἱμάτων σου ταῖς ἐκχύσεσι, καὶ Ὀρθοδόξων κατηύφρανας, χοροὺς τῇ ἐνστάσει σου, τῇ λαμπρᾷ καὶ παναλκεῖ, Νεομάρτυς Ἀντώνιε, στῦλε πίστεως, ἀῤῥαγέστατε· ὅθεν γεγηθότες, εὐσχη-μόνως μελῳδοῦμεν, τὴν σὴν πανίερον ἄθλησιν.

Ἀριστεύσας ἐν σκάμμασι, τῆς ἀθλήσεως, Ἅγιε, τῆς Χριστοῦ ἐπώφθης ὁπλίτης πίστεως, περιφανὴς καὶ ἀήττητος· διὸ καὶ ἀπείληφας, ἐκ χειρῶν τοῦ Ἰησοῦ, τὰ βραβεῖα τῆς νίκης σου, ἀξιάγαστε, καὶ Μαρτύρων χοροῖς συνηριθμήθης, ἵνα χαίρῃ μετ' Ἀγγέλων, ἀκαταπαύστως, Ἀντώνιε.

Εὐσθενῶς πρὸ τοῦ βήματος, τῶν ἀνόμων, Ἀντώνιε, τὸν Χριστὸν καὶ Κύριον ὡμολόγησας, καὶ ἔαρ σοῦ τῆς νεότητος, παρεῖδες καὶ ἤνεγκας, ἐν χειμῶνι ζοφερῷ, τῆς δουλείας ἀπότμησιν, τοῦ αὐχένος σου, Νεομάρτυς τῆς πίστεως ἀφόβως, ἐν τῇ Κωνσταντινουπόλει, τῇ Βασιλίδι τῶν πόλεων.

Κοινωνὸς δι' ἀθλήσεως, τῶν Μαρτύρων τῆς πίστεως, τῶν καρτεροψύχων ἀρτίως πέφηνας, καὶ τὸν ἀεὶ δοξαζόμενον, Σωτῆρα ἐδόξασας, ἐν Ἁγίοις εὐσθενὲς, Νεομάρτυς Ἀντώνιε· ὅθεν σήμερον, Ἐκκλησία λαμπρῶς τῶν Ἀθηναίων, τὴν σὴν χάριν ἀνυμνοῦσα, δόξῃ τῇ σῇ ἀγλαΐζεται.

Τῆς Ἀτθίδος ἐκβλάστημα, πανωραῖον, Ἀντώνιε, τῆς σεμνυνομένης, στεῤῥέ, σπαργάνοις σου, ἀγρὸν Χριστοῦ τὸν πανεύοσμον, ἀνδρείας ἐμύρισας, ἀηττήτου σου ὀδμαῖς, καὶ κατηύφρανας πλήρωμα, τὸ

ὀρθόδοξον, σῇ ἐνστάσει, δι' ἧς υἱοὺς τῆς Ἄγαρ, ἐτροπώσω ἐν ἐσχάτοις, καιροῖς, Μαρτύρων ὡράϊσμα.

Μαρτυρίου τὴν δύσβατον, τρίβον χαίρων διήνυσας, καὶ ἐν ἀειζώοις μοναῖς ἐσκήνωσας, ζωῆς τοῦ ξύλου, Ἀντώνιε, τρυφῶν, ἀξιάγαστε, αἰωνίως, ἀθλητά, ἐν οἷς ἀγαλλιώμενος, τὸν Φιλεύσπλαγχνον,Ἰησοῦν δυσωπεῖς ὑπὲρ τῶν πίστει, σὲ τιμώντων καθ' ἑκάστην, ὡς τῶν Ἀγγέλων ὁμόσκηνον.

Δόξα. Ἦχος πλ. β΄.

Σήμερον ὡς ἀστὴρ παμφαὴς ἀνατέταλκε τῷ κόσμῳ, ἡ τοῦ νεοάθλου Ἀντωνίου ἐπέτειος τῆς αὐτοῦ ἀθλήσεως· δεῦτε, οὖν φιλέορτοι, ἀγαλλιώμενοι καὶ σκιρτῶντες, πνευματικῶς πανηγυρίσωμεν καὶ βοήσωμεν· χαίροις, Ἀθηναίων εὐθαλέστατον βλάστημα, τὸ εὐωδιάσαν τὸν κόσμον ὀδμαῖς τῆς σῆς γενναιότητος· χαίροις, ὁ ἐν δυσχειμέροις τοῦ ἔθνους ἡμῶν χρόνοις, τῶν πάλαι Μαρτύρων ἀνακεφαλαιώσας τὰ σκάμματα· χαίροις, ὁ τῶν εὐσε-βῶν εὐφράνας τὴν ὁμήγυριν, καὶ τῶν ἀνόμων τυράννων διελέγ-ξας τὴν ἀσέβειαν· ἀλλ' ὡς ἐν πόλῳ νῦν Χριστῷ παριστάμενος, μὴ παύσῃ Αὐτοῦ δεόμενος, ὑπὲρ τῶν ψυχῶν τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε,...

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

## Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μγ΄ 9 - 14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ

εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε' 15 - στ' 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ

θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυ-ρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τήν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.

Ἀθηναίων τὸ περιώνυμον ἄστυ, ἑόρτιον πανήγυριν ἄγει σήμερον, ἐπὶ τῇ μνήμῃ τοῦ νεοθαλοῦς αὐτῆς βλαστήματος, καὶ ἀριστέως σταδίου, Ἀντωνίου τοῦ ἀλκίφρονος· δεῦτε, οὖν καὶ ἡμεῖς πνευματικῶς συνευφραινόμενοι, ἀνυμνήσωμεν τὸν ὡς σφάγιον τυθέντα Νεομάρτυρα, καὶ τὰς αὐτοῦ πρὸς Κύριον εὐχὰς ἐκζητήσωμεν, πρὸς ἀρετῶν τελείωσιν.

Ἦχος β΄.

Κλῆμα πίστεως εὐθαλέστατον, φέρον βότρυν ἀφθαρσίας πέπειρον, ἀνεδείχθης, Ἀθηναίων ὡράϊσμα, Νεομάρτυς Ἀντώνιε· σὺ γὰρ πενόμενος νηπιόθεν καὶ στερούμενος, ἐπλούτησας τῇ τοῦ Σωτῆρος Χριστοῦ ἀγάπῃ, καὶ ὑπὲρ αὐτῆς εὐμοίρησας ἀθλῆσαι γενναίως· καὶ νῦν ὡς κληρονόμος, τῶν ἡτοιμασμένων ἀγαθῶν ἀπὸ καταβολῆς κόσμου, πρεσβεύεις Χριστῷ, καὶ ἡμᾶς ἀξιῶσαι τῆς ἀγήρω λαμπρότητος.

Ἦχος γ'.

Τῆς δουλείας τὰ δεσμὰ διαῤῥήξας τῇ σῇ εὐψυχίᾳ, καὶ ἡλικίας σου τὸ εὐανθὲς παριδών, Ἀντώνιε, ἑκουσίως πρὸς μαρτύριον ἐχώρησας· ἀπειλὰς γὰρ μὴ πτοηθεὶς ἀνόμων ἐκγόνων τῆς Ἄγαρ, ἐν Βασιλίδι τῶν πόλεων κάραν ἔκλινας δημίου τῷ ξίφει, καὶ ὡς ἀμνὸς ἐσφαγιάσθης ἐνιαύσιος· καὶ νῦν σὺν Μαρτύρων δήμοις ἀγαλλιώμενος, καὶ σὺν Ἀγγέλων χοροῖς ὑμνῶν ἀπαύστως τὸν Κύριον τῆς δόξης, μὴ παύσῃ Αὐτῷ πρεσβεύων ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος δ'.

Τὸ ὑπὲρ πᾶν ὄνομα τοῦ Κυρίου ὁμολογήσας, ἐν ὑστέροις τοῖς χρόνοις, Ἀντώνιε, εὐσεβῶν τὰς χορείας κατηύφρανας· σὺ γὰρ ἀντικειμένων τὰς φάλαγγας, ἀθλητικῇ σου ἐνστάσει ἐθριάμβευσας, καὶ τὴν αὐτῶν ἀπάτην καθεῖλες, στεῤῥόψυχε· στεφανίτης οὖν ἀνελθὼν εἰς πόλον, καὶ τῆς ἀφθίτου χαρᾶς ἀπολαύων, μὴ παύσῃ Χριστοῦ δεόμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ὁ αὐτός.

Δεῦτε, φιλεόρτων τὰ συστήματα, μελίσμασιν ἱεροῖς καταστέψωμεν σήμερον, Ἀντώνιον, τὸν νέον ἀθλητὴν τῆς πίστεως· οὗτος γὰρ ἀρτιφανῶς ἐν Κωνσταντινουπόλει ἀθλήσας, καὶ τοὺς ἀσεβοῦντας αἰσχύνης πληρώσας, διάκοσμος γέγονε τῆς πίστεως τῶν Ὀρθοδόξων· ὅθεν τῆς οὐρανίου ἀξιωθεὶς εὐκλείας, πρεσβεύει τῷ ἀγωνοθέτῃ Κυρίῳ, ἀξιῶσαι καὶ ἡμᾶς χαρᾶς τῆς ἀτέρμονος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε, ....

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, τῶν Ἀθηνῶν ὁ βλαστός, Νεομαρτύρων τὸ περίβλεπτον καύχημα, τὸ γέρας τοῦ Βυζαντίου, ὁ στρατιώτης Χριστοῦ, τῶν ἀνόμων στίφη, τροπωσάμενος· ἀνδρείας ὀσφράδιον, γενναιότητος λείριον, καὶ μυροβόλον, εὐψυχίας κιννάμωμον, τὴν ζωήῤῥυτον, εὐωδίαν τοῦ Πνεύματος, πᾶσιν ἐκπνέον πέρασι, τῆς κτίσεως, ἔνδοξε, Νεομαρτύρων ἀλκίμων, εὐῶδες κρίνον, Ἀντώνιε· Χριστὸν ἐκδυσώπει, εὐωδίας πλῆσαι θείας, χαρᾶς σοὺς πρόσφυγας.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις, Νεομαρτύρων πυρσέ, ὁ καταυγάσας μαρτυρίου πυρσεύμασιν, ἐνδόξου σου πᾶσαν κτίσιν, καὶ σκοτομήνην υἱῶν, Ἄγαρ ἐκδιώξας, θεοστήρικτε, Ἀντώνιε, κράζοντες, σοῦ τὴν μνήμην γεραίρομεν, τὴν παναγίαν, μελιῤῥύτοις ἐν ᾄσμασι, καὶ ὑμνοῦμέν σε, τοῦ σταδίου ὡς πρώταθλον· δέξαι οὖν, Μάρτυς, μέλισμα, ὃ σοὶ ἐξυφαίνομεν, καὶ μὴ ἐλλίπῃς πρεσβεύων, Χριστῷ ἡμῖν πέμψαι ἅπασιν, ὑγίειαν ἄμφω, ἀστασίαστον εἰρήνην, καὶ μέγα ἔλεος.

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Δεῦτε, οἱ τῆς Ἀτθίδος χοροί, οἱ φιλομάρτυρες, συμφώνως τιμήσωμεν, τὸν νεόν ἐν ἀθλοφόροις, Χριστοῦ ὁπλίτην στεῤῥόν, τὸν ἐν Βυζαντίῳ,

μαρτυρήσαντα, λαμπρῶς ὑπὲρ πίστεως, τῆς ἀμώμου τοῦ Κτίσαντος, ἐν τοῖς ἐσχάτοις, τοῖς καιροῖς καὶ ἀπότμησιν, καρτερώτατα, τῆς αὐτοῦ ὑπομείναντα, κάρας, κλεινὸν Ἀντώνιον, κραυγάζοντες· Κύριον, ἀδιαλείπτως δυσώπει, ὑπὲρ ἡμῶν, ἀξιάγαστε, τῶν ὕμνοις τιμώντων, μνήμην ὄντως σου τὴν θείαν, καὶ πανσεβάσμιον.

Δόξα. Ἦχος πλ. δ'.

Ὡς τρόπαιον περιφέρων τὴν τοῦ Κυρίου πανάμωμον πίστιν, γενναιοφρόνως ὑπὲρ αὐτῆς ἐνήθλησας, Νεομάρτυς Ἀντώνιε· Χριστοῦ γὰρ τὸ ὑπὲρ πᾶν ὄνομα προφέρων, κάραν ὑπέκλινας τῷ ξίφει τῶν ἀνόμων, καὶ ὡς ἀμνὸς ἐτύθης πάναγνος, στεῤῥόψυχε· κληρονόμος οὖν γενόμενος τῆς δόξης τῶν Μαρτύρων, πρέσβευε τῷ εὐϊλάτῳ Κυρίῳ ἡμῖν καταπέμψαι, κατ' ἄμφω ὑγίειαν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι…

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ὡς νεόφυτον ἔρνος Χριστοῦ τῆς πίστεως, τὸ ἐξανθήσαν ἐν χρόνοις δουλείας γένους ἡμῶν, ἀνυμνοῦμέν σε, πανένδοξε Ἀντώνιε, γόνε σεπτὲ τῶν Ἀθηνῶν, ὁ ἀκμῇ τὴν κεφαλὴν, μαχαίρας ἀνόμων κλίνας, καὶ σοῦ δεόμεθα· ἴσθι, θερμὸς ἡμῶν ἐν βίῳ πρόμαχος.

Θεοτοκίον.
Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...
Ἀπόλυσις.

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Βλαστὲ τῶν Ἀθηνῶν, εὐανθὲς καὶ εὐῶδες, ἀνδρείας καὶ Χριστοῦ,ἀγαπήσεως κρίνον, Ἀντώνιε πάνσοφε, ταῖς ὀδμαῖς κατεμύρισας, σῆς ἐνστάσεως, καὶ γεραροῦ μαρτυρίου, τοὺς τὸ ὄνομα, ὁμολογοῦντας Κυρίου,τρανῶς τὸ πανάγιον.

Δόξα. Τὸ αὐτὸ. Καὶ νῦν. Θεοτοκίον.

Σκηνὴ φωτολαμπής, ἁγιάσματος κρήνη, καὶ θρόνος παμφαὴς, Βασιλέως τῆς δόξης, Χριστὸν σωματώσασα, ἀνεδείχθης, Παντάνασσα· ὅθεν μέλποντες,τὰ σὰ θαυμάσια πάντες, Ἀπειρόγαμε, Θεογεννῆτορ, Υἱόν Σου τὸν θεῖον δοξάζομεν.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐπάτησας ἔνεδρα τοῦ παλαιοῦ πτερνιστοῦ, τρισμάκαρ Ἀντώνιε,ἀγαλλομένῳ ποδὶ, καὶ πλάνην κατῄσχυνας, τοῦ Ἰσμαὴλ ἐκγόνων, σθεναρᾷ

σου ἐνστάσει, καὶ τῶν σεπτῶν αἱμάτων, ἐκροαῖς σου ἐν χρόνοις, ὑστέροις· ὅθεν σοι ὁ Θεὸς, στέφος ἀπένειμεν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως συνέλαβες ἐν τῇ σεπτῇ Σου γαστρὶ, δραξὶ τὸν συνέχοντα,πᾶσαν τὴν κτίσιν, Χριστόν, Θεόνυμφε Δέσποινα· ὅθεν βροτῶν χορεῖαι,μεγαλύνοντες πόθῳ, Σὲ ὡς Θεοῦ Μητέρα, καὶ θεώσεως γένους, ἡμῶν δοξολογοῦμεν ἀεὶ Τόκον τὸν θεῖόν Σου.

Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Ἀκμὴν νεότητος, καὶ κάλλος σώματος, σοφῶς ἡγούμενος, ὡς ὕλην ῥέουσαν, κατηκολούθησας Χριστῷ, καὶ ἤθλησας στεῤῥοψύχως, ἐν ὑστέροις ἔτεσιν· ὅθεν σύμμορφος γέγονας, τῆς Αὐτοῦ, πανάριστε, δόξης καὶ χάριν εἴληφας, πρεσβεύειν ὑπὲρ πάντων βοώντων· χαῖρε, Ἀντώνιε γενναῖε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος, ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ματθαῖον (Κεφ. ι΄ 16-22).

Εἶπεν ὁ Κύριος. Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. Προσέχετε δὲ ἀπὸ τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς καὶ ἐπὶ ἡγεμόνας δὲ καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσιν. Ὅταν δὲ παραδώσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ τί λαλήσετε. Οὐ γὰρ ἡμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς· καί ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

Ὁ Ν΄ (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ. *Ἐλέησόν με, ὁ Θεός,...*

Σήμερον ὁ αἰσχύνας ἐχθρὸν τὸν μιαρὸν καὶ παμβέβηλον, καὶ λαὸν τὸν Ὀρθόδοξον εὐφράνας, ἀθλήσεως σκάμμασιν, Ἀντώνιος ὁ ἀήττητος, πρὸς ἀφθαρσίας ἀνέπτη σκηνώματα· στέφος οὖν δεξάμενος παρὰ Κυρίου, ὡς Αὐτοῦ τῶν παθῶν μιμητὴς καὶ ὁμότροπος, Ἀγγέλων χορείαις ἐν πόλῳ συνευφραίνῃ, καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς· *Ἀντώνιον ὑμνῶ, νεόδρεπτον πίστεως ἴον. Χ* .

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀντώνιον, Μάρτυρα, νεολαμπῆ, εὐφημήσωμεν, φιλέορτοι ἅπαντες, τὸν ὥσπερ θῦμα σεπτὸν, ὑποκλίναντα, αὐτοῦ αὐχένα ξίφει, ἐκγόνοις στεῤῥότατα, Ἄγαρ τοῖς ἄφροσι.

Νεόφωτον πύρσευμα, τῆς Ἐκκλησίας τοῦ Κτίσαντος, Ἀντώνιον, λύσαντα, Ἄγαρ υἱῶν σκοτασμὸν, καὶ φωτίσαντα, καρδίας Ὀρθοδόξων, βολαῖς γενναιότητος, ἐγκωμιάσωμεν.

Τὸν γόνον τὸν ἔνθεον, τῶν Ἀθηνῶν ὕμνοις στέψωμεν, Ἀντώνιον ἔνδοξον, Νεομαρτύρων λαμπρὸν, ἐγκαλλώπισμα, ἐν Κωνσταντινουπόλει, Χριστὸν μεγαλύναντα, τρόποις ἀθλήσεως.

Θεοτοκίον.

Ὡς δόξης ἀνάκτορον, καὶ πολυτίμητον σκήνωμα, Χριστοῦ τοῦ Παντάνακτος, οἱ τῶν μερόπων χοροί, μεγαλύνομεν, Σέ Κεχαριτωμένη, Μητράνανδρε Δέσποινα, Θεογεννήτρια.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Νεότητος ἄνθος ὑπερεῖδες, Ἀντώνιε, Μάρτυς εὐσταλές, πτωχῶν γονέων βλάστημα, καὶ εὐλαβῶν περίδοξον, ὡς ἂν ἀνθή-σῃς ῥάδαμνον, ἀτελευτήτου νεότητος.

Ἰθύνας τὰ διαβήματά σου, Κυρίου ὡς ἄριστος δρομεὺς, πρὸς στάδιον ἀθλήσεως, περιχαρῶς, Ἀντώνιε, ὑπήνεγκας μαρτύριον, καὶ κεφαλῆς σου ἀπότμησιν.

Ὁ νοῦς σου πτερούμενος πρὸς κάλλος, τὸ ἄῤῥητον σοῦ τοῦ Λυτρωτοῦ, σφριγώσης σου, Ἀντώνιε, τὸ θαλερὸν ἐμάρανας, σαρκὸς βασάνων πλήθεσι, καὶ σῶν αἱμάτων ἐκχύσεσι.

Θεοτοκίον.

Ναὸς εὐπρεπὴς, Θεοκυῆτορ, τοῦ πάντων δεσπόζοντος Θεοῦ, καὶ Λυτρωτοῦ ὑπάρχουσα, ἁγίασον τοὺς δούλους Σου, ἐκδεχομένους πάντοτε, τὴν ἀῤῥαγῆ προστασίαν Σου.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Αὔρα ἔνδροσε, ἡ φλεγομένας, ἀναψύχουσα, ἡμῶν καρδίας, εὐσεβούντων περιλάλητε θρίαμβε, καὶ

ἀκαθαίρετον θάῤῥους κρηπίδωμα, Χριστὸν δυσώπει ἀπαύστως, Ἀντώνιε, δοῦναι ἅπασι τοῖς πόθῳ τὴν θείαν μνήμην σου, γεραίρουσιν ὑψόθεν ἄμφω δύναμιν.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὸν Δομήτορα, τῆς Ἐκκλησίας, καὶ λαμπρότητος, τὸν παροχέα, αἰωνίου εὐσεβέσιν ἐκύησας, ὑπερφυῶς ἐν γαστρὶ τῇ ἁγίᾳ Σου, Θεοκυῆτορ, Πανύμνητε Δέσποινα· ὅθεν ἅπαντες ἀπαύστως Σε μεγαλύνοντες, προσφεύγομεν ἑκάστοτε Σῇ χάριτι.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑμνῳδίαις σε τιμῶμεν, μελιῤῥύτοις, Ἀντώνιε, τὸν διὰ πτωχείαν, σοῦ τῶν γεννητόρων, νεόαθλε, Ἄγαρ υἱῶν πωληθέντα εἰς τὰ ἔκγονα, ἠναγκάζοντα, σὲ ἀπαρνήσασθαι πίστιν σου.

Μέγα καύχημα Μαρτύρων, Ἀθηναίων, Ἀντώνιε, πίστεως ὡς ἄκμων, χαλεπὰς βασάνους ὑπήνεγκας, καὶ ἀνενδότῳ καρδίᾳ ἀνεκραύγαζες· Πολυεύσπλαγχνε, δόξα, Χριστέ, τῇ δυνάμει Σου.

Νεομάρτυς, δοῦλος πέλων, ἀλλοθρήσκων ὑπήκοος, ἅπασιν ἐδείκνυς, πλοῦτον τῆς ἁγίας καρδίας σου, ἐν ᾗ κατῴκει Χριστὸς ὁ παντοδύναμος, καὶ φιλάνθρωπος, δεδοξασμένε Ἀντώνιε.

Ὥσπερ εὔλαλον στρουθίον, ἐν κλωβῷ τοὺς κυρίους σου, ηὔφρανες προθύμως, ἐκτελῶν αὐτῶν τὰ ἐντάλματα, καὶ κατατήκων τὴν σάρκα σου, Ἀντώνιε, σοῦ ἀδούλωτον, ἐτήρεις, μάκαρ, τὸ πνεῦμά σου.

Θεοτοκίον.

Νεανίου ἀθλοφόρου, Θεοτόκε, κραταίωμα, θείου Ἀντωνίου, καὶ τῶν εὐσεβῶν ἀγαλλίαμα, μὴ διαλίπῃς τῷ Τόκῳ Σου πρεσβεύουσα, πέμψαι ἅπασιν, Αὐτοῦ τὸ ἄμετρον ἔλεος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Εὐτόλμως τοῖς βήμασιν, Ἀντώνιε μακάριε, θείων ἠκολούθησας Μαρτύρων, καὶ ὑπερόπτης τῶν ἀπειλῶν ἐποφθεὶς, αὐτῶν κάραν ἔκλινας τὴν σήν, Νεομάρτυς ἔνδοξε, ξίφει πλάνου κακόφρονος.

Ὁδὸν τῆς ἀθλήσεως, τετελεκὼς, Ἀντώνιε, πρὸς νομὰς ἐσκήνωσας ἀφθίτους, ἔνθα τοῦ ξύλου κατατρυφῶν τῆς ζωῆς, ἀπαύστως Χριστὸν ἐκδυσωπεῖς, δοῦναι τοῖς τιμῶσί σε, ῥώμην ἄμφω καὶ δύναμιν.

Δημίου σπαθίσματα, ἀμνὲ Κυρίου ἄμωμε, ὁ σεπτὸς ἐγεύσατο αὐχήν σου, ἐν Βυζαντίῳ καὶ ἐν δουλείας καιροῖς, Ἀντώνιε Μάρτυς· ὅθεν νῦν, σὲ ὡς νέον σφάγιον, ἀνυμνοῦμεν τῆς πίστεως.

Θεοτοκίον.

Ῥαθύμως τὸν βίον μου, φεῦ, δαπανῶν ὁ δείλαιος, Μῆτερ τοῦ Θεοῦ, ἐκδυσωπῶ Σε· τῆς Βασιλείας τῶν οὐρανῶν οἰκιστὴν, οἰκέτην ἀνάδειξον τὸν Σὸν, τὸν πιστῶς προσφεύγοντα, ταῖς θερμαῖς ἱκεσίαις Σου.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἐλευθερίας ὁ Κύριος, Χριστός σε τῆς δουλείας ἀπήλλαξεν, ἐχθρῶν, Ἀντώνιε, τῶν κακοτρόπων ὡς ἔχοντα, τὸ φρόνημά σου, Μάρτυς, στεῤῥέ, ἀδούλωτον.

Παρεῖδες, μάκαρ Ἀντώνιε, νεότητος τὸ κάλλος καὶ δύναμιν, διὰ τὸν Κύριον, καὶ τὸ σὸν αἷμα ἐξέχεας, ὑπὲρ Αὐτοῦ προθύμως, τὸ τιμιώτατον.

Τιμάσθω νῦν ὁ Ἀντώνιος, ὁπλίτης Ἰησοῦ ὁ νεόαθλος, ᾠδαῖς καὶ ᾄσμασιν, τῶν Ἀθηνῶν τὸ ἐκβλάστημα, καὶ αὖχος καὶ προστάτης, ἐν δίναις ἔνθερμος.

Θεοτοκίον.

Οὐ παύω, Δέσποινα Πάναγνε, ἐν ὕμνοις μελιχροῖς μεγαλύνων Σε, ὡς ἀγαλλίαμα, καὶ γλυκασμὸν τῆς καρδίας μου, ἣν ἐκ πικρίας Ἅδου, ἀπηλευθέρωσας.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ὡς νεοάθλων στεῤῥοψύχων ἀκροθίνιον, καὶ στρατιώτην τοῦ Παντάνακτος πανάριστον, ἀνυμνοῦμέν σε, πανένδοξε στεφανῖτα, Ἀθηναίων εὐωδέστατον ὀσφράδιον, καὶ νεόδρεπτον τῆς πίστεως λευκάνθεμον· ὅθεν κράζομεν· Χαίροις, Μάρτυς Ἀντώνιε.

Ὁ Οἶκος.

Ἄνθος τῆς ἡλικίας καὶ νεότητος κάλλος, Ἀντώνιε, σοφῶς ὑπερεῖδες καὶ τοῦ ξίφους ἀκμῇ κεφαλὴν τὴν σεπτήν σου, Μάρτυς γεραρέ, ἔκλινας· διό σοι, νέε πίστεως ὁπλῖτα, ἐκβοῶμεν πόθῳ·

Χαῖρε, Μαρτύρων ἡ ὡραιότης·
χαῖρε, ἀθλούντων ἡ κοσμιότης.
Χαῖρε, ὁ αἰσχύνας τῆς Ἄγαρ τὰ ἔκγονα·
χαῖρε, ὁ ποθήσας σαφῶς τὰ οὐράνια.
Χαῖρε, στήλη ἡ νεόγραφος τοῦ Κυρίου ἐντολῶν·
χαῖρε, κρήνη γενναιότητος καὶ φρονήσεως κανών.
Χαῖρε, ὅτι τὴν κλῆσιν τοῦ Σωτῆρος κηρύττεις
χαῖρε, ὅτι τὴν πλάνην τῶν ἀπίστων ὀλλύεις.
Χαῖρε, ἐχθροῦ γενναῖος ἀντίπαλος·
χαῖρε, Χριστοῦ ὁ φίλος ὁ γνήσιος.
Χαῖρε, λαμπρὲ Ἀθηνῶν νεανία·
χαῖρε, κλυτέ, εὐσεβῶν θυμηδία·
Χαίροις, Μάρτυς Ἀντώνιε.

Συναξάριον.

Τῇ 5η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ἁγίου Νεομάρτυρος Ἀντωνίου τοῦ Ἀθηναίου, τοῦ ἐν Κωνσταντινουπόλει ἀρτίως ἀθλήσαντος ἐν ἔτει 1774.

Στίχοι.

*Νεότητος κάλλος παριδὼν τῷ ξίφει*
*κάραν ἔκλινας, Ἀντώνιε, ἀνόμων.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Νίκης τρόπαιον, περικλεὲς Ἀντώνιε, τρισμάκαρ, ἤγειρας, ὡς στρατιώτης λαμπρὸς, τοῦ πάντων

δεσπόζοντος περιζωσάμενος, ὅπλα πίστεως, καὶ θριαμβεύσας φάλαγγας, μιαρῶν ἀντικειμένων.

Παναοίδιμε, Ἀντώνιε, πρὸ βήματος, ἀνόμων Κύριον, ὁμολογήσας Χριστὸν, ἀμνὸς ὥσπερ ἄκακος ὁδῷ ἀθλήσεως, ἠκολούθησας, καὶ πρὸς σφαγὴν γηθόμενος, ἐκαρτέρησας, στεῤῥόφρον.

Ἰταμότητι, παμμάκαρ, καὶ ὠμότητι, ἐχθρὸς ὁ βέβηλος, σὴν ἱερὰν κεφαλὴν, ᾧ ξίφει ἀπέτεμε, κλεινὲ Ἀντώνιε, ἣν ὁ Κύριος, ἀξιοχρέως ἔστεψεν, ἀφθαρτότητος στεφάνῳ.

Θεοτοκίον.

Σωματώσασα, Θεοκυῆτορ Δέσποινα, τὸν λυτρωσάμενον, ἐκ τῆς ἀρχαίας ἀρᾶς, ἡμᾶς πανευΐλατον, Χριστὸν τὸν Κύριον, ῥῦσαι ἅπαντας, φθοροποιοῦ κακώσεως, τοὺς πιστῶς σε προσκυνοῦντας.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Τεῖχος κεκτημένη Ἀθηναίων, ἡ πόλις σε κηδεμόνα καὶ κραταίωμα, εὐσταλὲς Ἀντώνιε, γάνυται καὶ μνήμην σου, τιμῶσα τὴν πανίερον δοξάζει Κύριον, ἰσχύσαντα νομίμως ἀθλῆσαι, σὲ καὶ παρατάξεις, ἀνόμων θριαμβεῦσαι.

Ἔσπευδες ὡς ἔλαφος διψῶσα, πρὸς ὕδατος τὰς πηγάς, γενναῖε πρώταθλε, ἔνθους πρὸς ἀθλήσεως, σκάμματα, πανεύφημε, καὶ ἐπιβὰς σοῦ αἵματος ὡς ἄλλου σκάμματος, πρὸς πόλου τὰς παμφώτους σκηνώσεις, τὰς ἀκαταλύτους, ἀνῆλθες στεφηφόρος.

Ὤφθης νεοάθλων ὡραιότης, ὁμότροπος ἀθλοφόρων καὶ ὁμόστεφος, παλαιῶν, Ἀντώνιε, ἀθλητῶν τῆς πίστεως· διό σε μα-καρίζοντες τὴν θείαν μνήμην σου, τιμῶμεν φιλεόρτων χορεῖαι, καὶ τῶν Ἀθηναίων, τὰ πλήθη ἐξαιρέτως.

Θεοτοκίον.

Χαῖρε, Ἀειπάρθενε Μαρία, χρηστότητος πρυτανεῖον καὶ ἀνάκτορον, θείας ἀγαθότητος, κράζοντες, Πανύμνητε, τὰς Σὰς πρεσβείας πάντοτε, ἀπεκδεχόμεθα οἱ δοῦλοί Σου, ὡς ἂν τρίβους πάντες, δαιλαδώδεις βίου ἀνύσωμεν ἀφόβως.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴσχυσας υἱοὺς, συντρίψαι τῇ χάριτι, τοῦ θείου Πνεύματος, Ἄγαρ, στῦλε πίστεως, ἡμῶν τῆς θείας ἀδιατάρακτε, Ἀντώνιε τρισμέγιστε, καὶ θεοσμίλευτον, εὐψυχίας ἄγαλμα· διόπερ νῦν, εὐφημοῦμεν σὴν πάντιμον ἄθλησιν.

Ὅλος φωταυγὴς, ὡς Μάρτυς, Ἀντώνιε, περικλεέστατος, αἴγλῃ τοῦ Παντάνακτος, ἀγωνοθέτου καὶ κυριεύοντος, ἁπάσης γῆς ἐν δώμασιν ἀϊδιότητος, ἀπολαύεις, τῆς χαρᾶς τῆς κρείττονος, καὶ πρεσβεύεις ὑπὲρ τῶν τιμώντων σε.

Νέε ἀθλητὰ, Κυρίου, Ἀντώνιε, ὡς δῶρον πρόσδεξαι, εὐτελὲς τὸν ὕμνον μου, ὅν σοι προσάγω ὡς συμπαθέστατος, καὶ πρὸς τὸ φῶς κατεύθυνον τῆς μετανοίας με, τῆς ἀγάπης τοῦ Χριστοῦ κυπάρισσε, καὶ Βελίαρ νεόδρεπτον θέριστρον.

Θεοτοκίον.

Χάριν δαψιλῆ, ὑψόθεν ὑφάπλωσον, ὡς μήτηρ εὔσπλαγχνος, ἐφ' ἡμᾶς, Παντάνασσα, τοὺς ἐκζητοῦντας τῆς προμηθείας Σου, τὰς δωρεὰς καὶ σκέπασον ἐκ τῆς τοῦ δράκοντος, ἐπηρείας τοὺς τῇ προστασίᾳ Σου, ἀφορῶντας ἑκάστοτε, Δέσποινα.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐμοὶ τὸ ζῆν ὁ Κύριος, διατρανῶν, Ἀντώνιε, καὶ τὸ θανεῖν μέγα κέρδος, ὑπὲρ Αὐτοῦ, ἀθλοφόρε, πρὸς τμῆσιν τοῦ αὐχένος σου, περιχαρῶς ἐχώρησας, καὶ ὡς ἀμνὸς πανάμωμος, ἐτύθης ἐν Βασιλίδι, λαμπρὲ βλαστὲ Ἀθηναίων.

Θεοτοκίον.

Εὐλογημένη Δέσποινα, τῶν χοϊκῶν διάσωσμα, ἀπὸ κοπρίας παθῶν με, τὸν Σὸν ἀχρεῖον οἰκέτην, πρὸς ἀρετῶν ἀνύψωσον, ἐνθέων κήπους, Πάναγνε, ὅπως τὸ φῶς θεώσεως, τῆς παμποθήτου κατίδω, ὁ Σοὶ ἀεὶ καταφεύγων.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ'. Ὢ, τοῦ παραδόξου θαύματος!

Νέε ἀθλητὰ στεῤῥόψυχε, καὶ στρατιῶτα Χριστοῦ, γενναιότατε, σύμφυτος, θείων ἐχρημάτισας, ἀθλοφόρων, Ἀντώνιε· σὺ γὰρ πατάξας ἐχθροῦ τὴν ἔπαρσιν, τοῦ Παρακλήτου, ἰσχύϊ κάρας σου, τμῆσιν

ὑπέμεινας, καρτερῶς καὶ ηὔγασας τῶν εὐσεβῶν, δήμους ὡς νεόφωτος, ἀστὴρ τῆς πίστεως.

Πύργος Ἐκκλησίας, ἔνδοξε, νεοπαγὴς ἀληθῶς, ἀνεδείχθης, Ἀντώνιε, Ἀθηναίων σέμνωμα, καὶ νεότευκτον τείχισμα, τῆς εὐσεβείας· διὸ τιμῶντές σου, τὴν θείαν μνήμην, τοῦ σοῦ φρονήματος, ᾄδομεν ἄτρεπτον, καὶ τῆς σῆς ἐνστάσεως τὸ σθεναρόν, Νεομάρτυς ἄριστε, θεομακάριστε.

Ἄκμων καρτερίας πέφανσαι, τῆς εὐσταθείας εἰκών, δειλανδρίας ἀπάρνησις, καὶ ἀνδρείας στέφανος, περιδόξου νεόπλεκτος· Νεομαρτύρων κρηπίς, Ἀντώνιε, ὁ τῆς στρατείας, τοῦ Λόγου σύμφυτος, πάντοτε πρέσβευε, τῷ θάρσους πλήσαντι Χριστῷ ἡμῖν, καταπέμψαι δύναμιν, καὶ μέγα ἔλεος.

Σκέπε, ἀθλητὰ Ἀντώνιε, τὴν σὲ τιμῶσαν λαμπρῶς, εὐκλεῆ σου γενέτειραν, πόλιν τὴν ἐξάκουστον, Ἀθηνῶν καὶ περίλαμπρον, καὶ πάσης βλάβης αὐτὴν ἀπάλλαξον, τοῦ μισοκάλου, καὶ πολεμήτορος, ἵνα μελίσμασι, μνήμην τὴν πανίερον τὴν σὴν φαιδροῖς, πόθῳ στέφῃ πάντοτε, Χριστὸν δοξάζουσα.

Δόξα. Ἦχος πλ. α΄.

Νεομαρτύρων τὸν φωστῆρα, τὸν ἀρτιφανῶς καταλαμπρύναντα τὴν Ἐκκλησίαν, Ἀντώνιον τὸν πανένδοξον, μελῳδικῶς ἀνυμνήσωμεν· οὗτος γὰρ τὰ δεσμὰ τῆς προσκαίρου διασπάσας δουλείας, ὑπὲρ τοῦ ἐλευθερώσαντος ἡμᾶς ἐκ θανάτου, ἐκθύμως καὶ νομίμως ἐνήθλησε· διὸ νῦν Χριστῷ συμβασιλεύων,

Αὐτῷ ἀδιαλείπτως πρεσβεύει, ἐλευθερῶσαι κακίας ἁπάσης καὶ ἀνο-μίας, τοὺς αὐτὸν μακαρίζοντας.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Χαίροις, εὐσεβείας νεολαμπὲς, ἄστρον τὸ φωτίσαν, σῆς ἀθλήσεως ταῖς βολαῖς, οἰκουμένης πλάτη, Ἀντώνιε γενναῖε, πυρσὲ τῶν Ἀθηναίων, πυριφλεγέστατε.

Δίστιχον.

*Ἀθηναίων τὸ καύχημα Χαραλάμπης,*
*Ἀντώνιον, ὕμνησεν ἀξιοχρέως.*